Cours de littérature grecque
Semestre d’automne 2024
**Histoire générale de la littérature grecque**
Lectures en marge du cours de littérature n° 4

**Tyrtée fr. 12 West, 1-30**
Éloge de la valeur guerrière.

οὔτ’ ἂν μνησαίμην οὔτ’ ἐν λόγωι ἄνδρα τιθείην
  οὔτε ποδῶν ἀρετῆς οὔτε παλαιμοσύνης,
οὐδ’ εἰ Κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
  νικώιη δὲ θέων Θρηΐκιον Βορέην,
οὐδ’ εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη,
  πλουτοίη δὲ Μίδεω καὶ Κινύρεω μάλιον,
οὐδ’ εἰ Τανταλίδεω Πέλοπος βασιλεύτερος εἴη,
  γλῶσσαν δ’ Ἀδρήστου μειλιχόγηρυν ἔχοι,
οὐδ’ εἰ πᾶσαν ἔχοι δόξαν πλὴν θούριδος ἀλκῆς·
  οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίνεται ἐν πολέμωι
εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα,
  καὶ δηίων ὀρέγοιτ’ ἐγγύθεν ἱστάμενος.
ἥδ’ ἀρετή, τόδ’ ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
  κάλλιστόν τε φέρειν γίνεται ἀνδρὶ νέωι.
ξυνὸν δ’ ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμωι,
  ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένηι
νωλεμέως, αἰσχρῆς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται,
  ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος,
θαρσύνηι δ’ ἔπεσιν τὸν πλησίον ἄνδρα παρεστώς·
  οὗτος ἀνὴρ ἀγαθὸς γίνεται ἐν πολέμωι.
αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
  τρηχείας· σπουδῆι δ’ ἔσχεθε κῦμα μάχης,
αὐτὸς δ’ ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμόν,
  ἄστυ τε καὶ λαοὺς καὶ πατέρ’ εὐκλεΐσας,
πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης
  καὶ διὰ θώρηκος πρόσθεν ἐληλάμενος.
τὸν δ’ ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
  ἀργαλέωι δὲ πόθωι πᾶσα κέκηδε πόλις,
καὶ τύμβος καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι
  καὶ παίδων παῖδες καὶ γένος ἐξοπίσω.